ἀπώλεσαν γὰρ αὐτῶν μυρίους πεντακισχιλίους τῇ τρισκαιδεκάτῃ
τοῦ Αδαρ καὶ οὐδὲν διήρπασαν. [17]καὶ ἀνεπαύσαντο τῇ τεσσαρεσ- 17
καιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως
μετὰ χαρᾶς καὶ εὐφροσύνης. [18]οἱ δὲ Ιουδαῖοι οἱ ἐν Σούσοις τῇ 18
πόλει συνήχθησαν καὶ τῇ τεσσαρεσκαιδεκάτῃ καὶ οὐκ ἀνεπαύσαντο·
ἦγον δὲ καὶ τὴν πεντεκαιδεκάτην μετὰ χαρᾶς καὶ εὐφροσύνης. [19]διὰ 19
τοῦτο οὖν οἱ Ιουδαῖοι οἱ διεσπαρμένοι ἐν πάσῃ χώρᾳ τῇ ἔξω ἄγου-
σιν τὴν τεσσαρεσκαιδεκάτην τοῦ Αδαρ ἡμέραν ἀγαθὴν μετ᾽ εὐ-
φροσύνης ἀποστέλλοντες μερίδας ἕκαστος τῷ πλησίον, οἱ δὲ κατοι-
κοῦντες ἐν ταῖς μητροπόλεσιν καὶ τὴν πεντεκαιδεκάτην τοῦ Αδαρ
ἡμέραν εὐφροσύνην ἀγαθὴν ἄγουσιν ἐξαποστέλλοντες μερίδας τοῖς
πλησίον.

[20]Ἔγραψεν δὲ Μαρδοχαῖος τοὺς λόγους τούτους εἰς βιβλίον καὶ 20
ἐξαπέστειλεν τοῖς Ιουδαίοις, ὅσοι ἦσαν ἐν τῇ Ἀρταξέρξου βασιλείᾳ,
τοῖς ἐγγὺς καὶ τοῖς μακράν, [21]στῆσαι τὰς ἡμέρας ταύτας ἀγαθὰς 21
ἄγειν τε τὴν τεσσαρεσκαιδεκάτην καὶ τὴν πεντεκαιδεκάτην τοῦ
Αδαρ — [22]ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσαντο οἱ Ιουδαῖοι 22
ἀπὸ τῶν ἐχθρῶν αὐτῶν — καὶ τὸν μῆνα, ἐν ᾧ ἐστράφη αὐτοῖς
(ὃς ἦν Αδαρ) ἀπὸ πένθους εἰς χαρὰν καὶ ἀπὸ ὀδύνης εἰς ἀγαθὴν
ἡμέραν, ἄγειν ὅλον ἀγαθὰς ἡμέρας γάμων καὶ εὐφροσύνης ἐξαπο-
στέλλοντας μερίδας τοῖς φίλοις καὶ τοῖς πτωχοῖς. [23]καὶ προσεδέ- 23
ξαντο οἱ Ιουδαῖοι, καθὼς ἔγραψεν αὐτοῖς ὁ Μαρδοχαῖος, [24]πῶς 24
Αμαν Αμαδαθου ὁ Μακεδὼν ἐπολέμει αὐτούς, καθὼς ἔθετο ψήφισμα

16 πεντακισχιλιους] + και εις διαρπαγην ουκ απεστειλαν τας χειρας αυτων 93†, + ουδεν διηρπασαν ουκ απεστειλαν τας χειρας αυτων Sc† | του αδαρ] > S†, του αυτου αδαρ Sc†, του μηνος αδαρ 58 93† | και ult.] pr. και τεσσαρεσκαιδεκατη S†, pr. και τη τεσσαρεσκαιδεκατη του αυτου μηνος A†: cf. 17 | και ουδεν διηρπ. > *O* || 17 του — ημεραν] αυτου του μηνος και ηγον αυτην την ημεραν S† || 18 οι 2° > A | τη πολει > S† | συνηχθ.] + τη τρισκαιδεκατη του αυτου (+ μηνος αδαρ 93) *O*-58† | τεσσαρεσκαιδ.] + του αυτου *O*-58†, + του αδαρ pau. | και ουκ > SA || 19 δια τουτο ουν] ουν > S†, δια γαρ τουτο A*O*† | οι 2° > SA | εν 1°] pr. οι οικουντες 93†, pr. οικουντες *O*-93† | παση] τη A(†) | τη εξω] > S 58 93†, hab. Sc | την 1°] pr. και A† | αδαρ 1°] μηνος S†, μηνος αδαρ *O*† | ευφροσυνης] + και ποτου *O*† | μεριδας bis] ς > S† | εκαστος τω] τοις A†: ad finem uersus adapt. | πλησιον 1° ⌒ 2° B* 58 93† | ημεραν ult. > Bs† | ευφροσυνην] -νης SA† | αγουσιν ult. > A† | εξαποστελλοντες] -ελλουσιν S† | τοις] pr. και Bs† || 20 εξαπεστ.] εξ > A† | οσοι] οι ASc† | ησαν] εισιν A*O*-58†, > 58† || 21 τε > A† | την 1°] pr. την ημεραν 58 93† | τεσσαρεσκαιδ.] + του μηνος αδαρ *O*-58† | την 2°] pr. την ημεραν 93†, + ημεραν Sc† | του αδαρ > A† || 22 init. — ημεραις] εν ταις ημεραις αις A†; + ως 583†, + ος Sc† | οι ιουδαιοι] > S*† (om. etiam απο 1°), + εν αυταις Sc†, pr. εν αυταις (uel -οις) 583 93† | εστραφη] εγραφη SA | ος ην αδαρ > A† | απο πενθους — ημεραν > S 93† | πενθους ... οδυνης] tr. A† | ολον αγαθας] αυτας A† | εξαποστελλοντας] -τες A || 23 ο > A || 24 πως] οπως SA | αμαν] pr. ο *O*† | αμαδαθου (cf. 1 1r)] + ο εβουγαιος Sc† (93† γωγαιος pro μακεδων) | ο > A† | αυτους 1°] τους ιουδαιους A 583 93† | καθως] και ως A*O*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1023 UNIVERSITÄT LEIPZIG